δικαίοις καὶ ἀσεβέσιν, διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, ἣ κέχρηται πρὸς ἡμᾶς; εἰ δὲ τοὺς μὴ δεομένους, μηδὲ αἰτοῦντας, οὕτως ἐλεεῖ καθ᾽ ἡμέραν, καὶ ἀναπαύει, πόσων εἰκὸς ἀγαθῶν ἀπολαύσεσθαι τοὺς ἐν εὐχαῖς καὶ δεήσεσιν πάντα τὸν βίον ἐσχολακότας;

Φέρε δὴ ὅσοις τῶν δικαίων ὑπῆρξεν διὰ προσευχῶν σῶσαι καὶ ἔθνη καὶ πόλεις καὶ τὴν οἰκουμένην ἅπασαν, εἴπωμεν πρὸς ὑμᾶς. Ἐν δὲ μνήμῃ προσευχῆς Παῦλος πρῶτος ἄξιος μνήμης. Παῦλος ὁ τῆς τοῦ θεοῦ λατρείας ἀκόρεστος, ὁ κοινὸς πατὴρ καὶ πρόγονος τῶν δούλων τοῦ Χριστοῦ. ἐκεῖνος τοίνυν ὁ φύλαξ τῆς οἰκουμένης, διὰ προσευχῆς καὶ τῆς συνεχοῦς δεήσεως πάντα τὰ ἔθνη διέσωσεν, λέγων ἀεὶ πρὸς ἡμᾶς, Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ κυρίου

*æquè dari & impertiri nõ videt? idq; ppter eximiã suã in nos benignitatẽ. Quod si eos q minime rogant, aut petunt, ita miseratur in dies, ac reficit; quantis bonis eos frui par est, q in precib., & obsecrationibus ætatem agunt.*

*Iã verò quãtus iustorũ virorum sit numerus, qb. licuit piis precib. gẽtes, vrbes, terrarũ orbem cõseruare vobis tandẽ aperiamus. Et qdẽ de precatione cum agitur, de Paulo primũ agendũ est; de Paulo, inquã, illo, q in Deo colendo, ac precãdo nunq̃ defatigabatur; cõmuni patre & principe seruorũ Christi. Ille igitur vniuersi terrarũ orbis custos assiduis precib. oẽs gẽtes tutatus est.* Propterea flecto genua mea ad patrẽ Domini

Exempla Sanctorum qui precib. gentes seruarunt.

Eph. 3.